eul_wid: oqa-ab

Ἡφαιστίων ὁ Ἀλεξανδρεύς · Hephaestion of Alexandria

# Metric Introduction

*Μετρικὴ εἰσαγωγή*

**Period:** *Ῥωμαϊκή* Roman
**Dialect:** *Κοινὴ τεχνική* Technical Koine
**Domain:** *Γραμματική* Grammar
**Format:** *Πραγματεία* Treatise

[20] ΗΦΑΙΣΤΙΩΝΟΣ ΜΕΤΡΙΚΗΣ ΕΙΣΑΓΩΓΗΣ Περὶ ποιήματος. Τῶν ποιημάτων τὰ μέν ἐστι κατὰ στίχον, τὰ δὲ συστηματικά, τὰ δὲ μικτά, τὰ δὲ κοινά. Κατὰ στίχον μὲν ὅσα ὑπὸ τοῦ αὐτοῦ μέτρου καταμετρεῖται, ὡς τὰ Ὁμήρου καὶ τῶν ἐποποιῶν ἔπη· καταχρηστικῶς δὲ κἂν ὑπὸ κώλου ἢ κόμματος, ὡς τὸ Καλλιμάχειον τοῦτο ποιημάτιον (118) ἡ παῖς ἡ κατάκλειστος, τὴν οἵ φασι τεκόντες. καταμετρεῖται γὰρ ὑπὸ κόμματος ἀντισπαστικοῦ, καλουμένου Φερεκρατείου. [20]

59 Συστηματικὰ δὲ ὅσα ὑπὸ πλειόνων μέτρων εἰς ἓν σῶμα παραληφθέντων καταμετρεῖται ἢ συμπληροῦται. Μικτὰ δὲ ὅσα μέρος μέν τι ἔχει ὑπὸ στίχου καταμετρούμενον, μέρος δὲ συστηματικόν. Κοινὰ δὲ ὅσα ὑπὸ συστήματος μὲν καταμετρεῖται, αὐτὸ δὲ τὸ σύστημα ἔχει πληρούμενον, οἷά ἐστι τὰ ἐν τῷ δευτέρῳ καὶ τρίτῳ Σαπφοῦς· ἐν οἷς καταμετρεῖται μὲν ὑπὸ διστιχίας, αὐτὴ δὲ ἡ διστιχία ὁμοία ἐστί. 〈Καὶ τὰ μέν ἐστι〉 κατὰ σχέσιν, τὰ δὲ ἀπολελυμένα, τὰ δὲ ἐξ ὁμοίων, τὰ δὲ μετρικὰ ἄτακτα, τὰ δὲ μικτά, τὰ δὲ κοινά. Καὶ κατὰ σχέσιν μέν ἐστιν, ὅσα μετρεῖται ὑπὸ συστήματος, καλεῖται δὲ οὕτως διὰ τὸ 〈κατὰ〉 σχέσιν τινὰ πρὸς ἄλληλα τὰ ἐν τῷ ποιήματι συστήματα καταμετρεῖσθαι. Ἐξ ὁμοίων δὲ ὅσα ἐκ τοῦ αὐτοῦ ποδός ἐστιν ἢ τῆς αὐτῆς συζυγίας ἢ τῆς αὐτῆς περιόδου ἀρχικῆς, οὔτε ὑπὸ στίχου οὔτε ὑπὸ συστήματος καταμετρούμενα. Μετρικὰ δὲ ἄτακτα, ὅσα ἐκ μέτρων μὲν ὁμολογουμένων συνέστηκε, τάξιν δὲ καὶ ἀνακύκλησιν οὐκ ἔχει, οὔτε κατὰ στίχον οὔτε συστηματικά· οἷός ἐστιν ὁ Μαργίτης ὁ εἰς Ὅμηρον ἀναφερόμενος, ἐν ᾧ παρέσπαρται τοῖς ἔπεσιν ἰαμβικά, καὶ ταῦτα οὐ κατ' ἴσον σύστημα. [20]

60 τοιοῦτόν ἐστι καὶ τὸ Σιμωνίδειον ἐπίγραμμα (Sim. 188) Ἴσθμια δίς, Νεμέᾳ δίς, Ὀλυμπίᾳ ἐστεφανώθην, οὐ πλάτεϊ νικῶν σώματος, ἀλλὰ τέχνᾳ, Ἀριστόδαμος Θράσυος Ἀλεῖος πάλᾳ. Μικτὰ δὲ ὅσα μέρος μέν τι ἔχει κατὰ σχέσιν, μέρος δέ τι ἀπολελυμένον ἢ ἐξ ὁμοίων. Κοινὰ δὲ ὅσα καθ' ἑτέραν μὲν ἰδέαν γέγραπται τοῦ συστήματος, δύναται δὲ καὶ καθ' ἑτέραν γεγράφθαι δοκεῖν· οἷον, φέρ' εἰπεῖν, ἐξ ὁμοίων ὄντα κατὰ σχέσιν δοκεῖν γεγράφθαι. Τοσαῦτα μὲν δὴ ταῦτα. Πάλιν δὲ ἕκαστα τῶν προειρημένων ὑποδιαιρετέον. Τῶν γὰρ κατὰ σχέσιν τὰ μέν ἐστι μονοστροφικά, τὰ δὲ ἐπῳδικά, τὰ δὲ κατὰ περικοπὴν ἀνομοιομερῆ, τὰ δὲ ἀντιθετικά, τὰ δὲ μικτὰ κατὰ σχέσιν, 〈τὰ δὲ κοινὰ κατὰ σχέσιν〉. Τὰ μὲν οὖν μονοστροφικά ἐστιν, ὁπόσα ὑπὸ μιᾶς στροφῆς καταμετρεῖται. Τὰ δὲ . [20]

61 ............ .................... ἐπῳδικὰ καλεῖται, ἐὰν δὲ ἐν τῇ πρώτῃ, προῳδικά, ἐὰν δὲ ἐν μέσῳ, μεσῳδικά. Ταῦτα μὲν οὖν καὶ ἐν τριάσιν ὁρᾶται· ἐὰν δὲ ὑπερεξαγάγῃ τὴν τριάδα, γίνονται καὶ

ἄλλαι ἰδέαι δύο. ἤτοι γὰρ περιῳδικά ἐστιν, ὅταν αἱ μὲν ἑκατέρωθεν ἀνόμοιοι ὦσιν 〈ἀλλήλαις, αἱ δὲ ἐν μέσῳ〉 ἀλλήλαις μὲν ὅμοιαι, ταῖς δὲ περιεχούσαις ἀνόμοιοι· ἢ παλινῳδικά, ὅταν αἱ ἑκατέρωθεν ἀλλήλαις μὲν ὦσιν ὅμοιαι, 〈ταῖς δὲ ἐν μέσῳ ἀνόμοιοι〉 καὶ αἱ ἐν μέσῳ ταῖς μὲν περιεχούσαις ἀνόμοιοι, 〈ἀλλήλαις δὲ ὅμοιαι〉. Τὰ δὲ κατὰ περικοπὴν ἀνομοιομερῆ τὰς μὲν περικοπὰς ὁμοίας ἀλλήλαις ἔχει, τὰς δὲ ἐν ταῖς περικοπαῖς περιόδους ἀνομοίους· καλεῖται δὲ τὰ μὲν δυαδικά, ὅσα δύο τὰς ἐν τῇ περικοπῇ περιόδους ἔχει, τὰ δὲ τριαδικά, ὅσα τρεῖς, τὰ δὲ τετραδικά, ὅσα τέσσαρας· καὶ ἐπὶ τῶν ἑξῆς κατὰ τὸν αὐτὸν λόγον. Ἀντιθετικὰ δέ, ὅσα κατὰ σχέσιν μὲν γέγραπται, οὐ μέντοι κατὰ τὴν αὐτὴν τάξιν παραβάλλεται ἀλλήλοις τὰ ἀντιστρέφοντα, τὸ πρῶτον τῷ πρώτῳ.

62 .. παραβάλλεσθαι, τὸ 〈δὲ〉 δεύτερον ἀπὸ τέλους τῷ δευτέρῳ ἀπ’ ἀρχῆς· τὸ δὲ τρίτον ἀπὸ τέλους τῷ τρίτῳ· καὶ ἐπὶ τῶν λοιπῶν οὕτω. ταύτης τῆς ἰδέας ἐστὶ τὸ Ὠιὸν τὸ Σιμίου καὶ ἄλλα παίγνια. Μικτὰ δὲ κατὰ σχέσιν ἐστίν, ὅσα ἐκ μερῶν ἐστιν, πάντων μὲν κατὰ σχέσιν, ἀνομοίων δὲ ἀλλήλοις κατὰ τὴν ἰδέαν, 〈οἷον〉 ἔκ τε ἐπῳδικῶν καὶ μονοστροφικῶν, ἢ κατὰ περικοπήν. Κοινὰ δέ ἐστι κατὰ σχέσιν, ὅσα καθ’ ἑτέραν μὲν ἰδέαν τῶν κατὰ σχέσιν γέγραπται, δύναται δὲ καὶ καθ’ ἑτέραν γεγράφθαι δοκεῖν, οἷον, εἰ μονοστροφικῶς γραφὲν δύναται τοῦτο καὶ ἐπῳδικῶς γεγράφθαι δοκεῖν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org